**LES PARABOLES DU REGNE : la semence qui pousse toute seule, l'ivraie dans le champ** (avec l'aimable autorisation des éditions Théotex)

## Marc IV

(NB. Ces deux textes ne sont pas absolument parallèles mais ont des points communs dignes d'être comparés)

26. Καὶ ἔλεγεν, Οὕτως ἐστὶν ἡ ϐασιλεία τοῦ θεοῦ, ὡς ἐὰν ἄνθρωπος ϐάλῃ τὸν σπόρον ἐπὶ τῆς γῆς,

27. καὶ καθεύδῃ καὶ ἐγείρηται νύκτα καὶ ἡμέραν, καὶ ὁ σπόρος ϐλαστάνῃ καὶ μηκύνηται ὡς οὐκ οἶδεν αὐτός.

28. Αὐτομάτη γὰρ ἡ γῆ καρποφορεῖ, πρῶτον χόρτον, εἶτα στάχυν, εἶτα πλήρη σῖτον ἐν τῷ στάχυϊ.

29. Ὅταν δὲ παραδῷ ὁ καρπός, εὐθέως ἀποστέλλει τὸ δρέπανον, ὅτι παρέστηκεν ὁ θερισμός.

## Matthieu XIII

24. Ἄλλην παραϐολὴν παρέθηκεν αὐτοῖς, λέγων, Ὡμοιώθη ἡ
ϐασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα ἐν
τῷ ἀγρῷ αὐτοῦ · 25. ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους,
ἦλθεν αὐτοῦ ὁ ἐχθρὸς καὶ ἔσπειρεν ζιζάνια ἀνὰ μέσον τοῦ
σίτου, καὶ ἀπῆλθεν.

26. Ὅτε δὲ ἐϐλάστησεν ὁ χόρτος καὶ καρπὸν ἐποίησεν, τότε ἐφάνη καὶ τὰ ζιζάνια.

27. Προσελθόντες δὲ οἱ δοῦλοι τοῦ οἰκοδεσπότου εἶπον αὐτῷ,
Κύριε, οὐχὶ καλὸν σπέρμα ἔσπειρας ἐν τῷ σῷ ἀγρῷ · Πόθεν
οὖν ἔχει ζιζάνια ; 28. Ὁ δὲ ἔφη αὐτοῖς, Ἐχθρὸς ἄνθρωπος
τοῦτο ἐποίησεν. Οἱ δὲ δοῦλοι εἶπον αὐτῷ, Θέλεις οὖν
ἀπελθόντες συλλέξομεν (συλλέξωμεν) αὐτά ·

29. Ὁ δὲ ἔφη, Οὔ, μήποτε, συλλέγοντες τὰ ζιζάνια,ἐκριζώσητε
ἅμα αὐτοῖς τὸν σῖτον. 30. Ἄφετε συναυξάνεσθαι ἀμφότερα
μέχρι τοῦ θερισμοῦ · καὶ ἐν καιρῷ τοῦ θερισμοῦ ἐρῶ τοῖς
θερισταῖς, Συλλέξατε πρῶτον τὰ ζιζάνια, καὶ δήσατε αὐτὰ εἰς
δέσμας πρὸς τὸ κατακαῦσαι αὐτά · τὸν δὲ σῖτον συναγάγετε εἰς
τὴν ἀποθήκην μου.